www.tezaurliturgic.ro


# ΕΝ ΤΩ͂Ι ΜΙΚΡΩ͂Ι ΕΣΠΕΡΙΝΩ͂Ι*

Εἰς τό, Κύριε, ἐκέκραξα.

Ἦχος α΄. Τῶν οὐρανίων ταγμάτων.

Ἱερωσύνης ποδήρει κατακοσμούμενος καὶ εὐσεβείας ζήλῳ πυρπολούμενος, πάτερ, ἐδείχθης ἱερώτατος λειτουργὸς τοῦ Κυρίου, μακάριε, ᾧ καὶ πρεσβεύων μὴ παύσῃ ὑπὲρ ἡμῶν, ἁγιώτατε Νικόλαε.

Τὸν ταπεινὸν καὶ εὐσχήμονα εὐφημήσωμεν, τὸν τοῦ Χριστοῦ πενήτων μιμητὴν ἐπ' ἐσχάτων, τὸν Νάξιον λευΐτην τὸν θαυμαστόν, τοῦ Κυρίου θεράποντα, ὃν πρεσβευτὴν κεκτημένοι πρὸς τὸν Θεόν, ταῖς εὐχαῖς αὐτοῦ σωθείημεν.

Ἁπλοῦν καὶ πρᾶόν σε ἅμα τε καὶ φιλάνθρωπον ὁμολογοῦσι πάντες, ὦ Νικόλαε πάτερ, καὶ γῆν τὴν τῶν πραέων νῦν κατοικεῖν, ὁ Δεσπότης ἠξίωσε, τῆς δ' ἐκκλησίας ὁ ἔπαινος ἐν χορῷ τῶν ἁγίων συνηρίθμησε.

Ἕτερα· ἦχος ὁ αὐτός. Πανεύφημοι μάρτυρες.

Ναξίων ὁ κλῆρος καὶ λαός, ἐν χαρᾷ γηθόμενος, ἐπ' ἁγιότητι φήμην σου, μάκαρ, ὡς ἤκουσεν, αἴνεσιν προσάγει Χριστῷ τῷ Θεῷ ἡμῶν τῷ σὲ ἀρτιφανῶς θαυμαστώσαντι, πάτερ Νικόλαε, τοῖς ἁγίοις δ' ἐν τῇ γῇ αὐτοῦ ὁδηγοῦντι πολλοὺς εἰς μετάνοιαν.

---

* Ἡ ἀκρίβεια τῆς τυπικῆς διατάξεως ὁρίζει 4 στιχηρά. Παραθέτομεν ἐν τούτοις 6 τοιαῦτα, δι' ἐνδεχομένην χρῆσιν αὐτῶν εἰς ἄλλας Ἀκολουθίας, κατὰ τὰς ἀπαιτήσεις τοῦ Τριῳδίου.

www.tezaurliturgic.ro


Συγχαίρει Κυκλάδων ἡ πληθὺς τῇ Ναξίᾳ σήμερον πανευφροσύνῃ, πατὴρ ἡμῶν, Πλανᾶ Νικόλαε, ἐν τῇ πανηγύρει μακαρίας μνήμης σου, ἀγείρονται δ' ἀθρόον τὰ τέκνα σου ἀπὸ περάτων νῦν, τὴν εἰκόνα σου ἀσπάσασθαι ἀνυμνοῦντα τὸν σὲ ἐνδοξάσαντα.

Ἐξάρχει φαιδρῶς τῆς ἑορτῆς δεξαμένη, Ἅγιε, τῶν Ἀθηναίων ἡ πόλις σε ἱερατεύοντα ἐν ταῖς τοῦ Προδρόμου καὶ Παντελεήμονος ἁγίαις ἐκκλησίαις, αἷς ἔλαχες πάτερ Νικόλαε, ἁγιάζειν ὡς καλὸς Ποιμὴν τὸ δοθέν σοι μικρὸν Χριστοῦ ποίμνιον.

Δόξα. Ἦχος β'.

Δεῦτε, φιλεόρτων τὸ σύστημα, ᾄσμασιν εὐφημήσωμεν τὸν τοῦ Χριστοῦ θεράποντα, καὶ νεοφανῆ ἡμῶν πατέρα καὶ μυσταγωγόν· τὸν ἐκ Ναξίας προελθόντα σεπτὸν πρεσβύτην· τὸν ἡγιασμένον Νικόλαον· τὸν φερωνύμως τὴν νίκην καταγαγόντα καὶ κατὰ τοῦ πλάνου θριαμβεύσαντα, τῇ δὲ κλήσει ἐπιλεγόμενον Πλανᾶν. Αὐτοῦ ταῖς ἱκεσίαις, τῆς πλάνης ῥυσθέντες, σωθῆναι δεόμεθα τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Τὴν πᾶσαν ἐλπίδα μου...

Ἀπόστιχα.

Ἦχος β'. Οἶκος τοῦ Ἐφραθᾶ.

Δέξαι τὴν παρ' ἡμῶν ἀνύμνησιν, πρεσβῦτα Νικόλαε τρισμάκαρ, αἰσίως εὐφημούντων τὴν σὴν ἁγίαν κοίμησιν.

Στίχ. Τίμιος ἐναντίον Κυρίου ὁ θάνατος τοῦ ὁσίου αὐτοῦ.

Εὖξαι ὑπὲρ ἡμῶν τῶν σὲ μακαριζόντων πρὸς Κύριον πρεσβεύων Νικόλαε, τῇ δόξῃ αὐτοῦ καταλαμπόμενος.

Στίχ. Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.

Ψάλται περιφανεῖς Ἀλέξανδροι ὑμνοῦντες τὸν Κύριον τῆς δόξης ἐν ἀγρυπνίαις, πάτερ, ἑώρων σε θεούμενον.

www.tezaurliturgic.ro


Δόξα. Καὶ νῦν.

Δόξαν Σε Προφητῶν γινώσκει Ἐλισσαῖος καὶ σὺν τῷ Νικολάῳ Πλανᾷ τῷ μακαρίῳ, Παρθένε, μεγαλύνουσι.

Νῦν ἀπολύεις. Τρισάγιον. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ἀπολυτίκια· τὰ τοῦ Μεγάλου Ἑσπερινοῦ.

Καὶ γίνεται Ἀπόλυσις.



www.tezaurliturgic.ro


## ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ

Μετὰ τὸν Προοιμιακὸν καὶ τὸ Ψαλτήριον.

Εἰς τό, Κύριε, ἐκέκραξα.

Στιχηρὰ προσόμοια τοῦ Ἁγίου.

Ἦχος α΄. Ὢ τοῦ παραδόξου θαύματος.

Ὢ τοῦ παραδόξου θαύματος! Τὰ μωρὰ τοῦ κόσμου ὁ Θεὸς ἐπέλεξε, τὴν δ' ἔπαρσιν τῶν σοφῶν τούτοις κατῄσχυνεν. Εὐφραίνου ἡ ταπεινὴ Νάξος, γενέθλη Πλανᾶ χρηματίσασα, Νικόλαον τὸν ἁπλοῦν ἐν ἱερεῦσι Χριστοῦ ἡ ἐκθρέψασα τὸν ἐν τοῖς χοροῖς ἁγίων προστεθέντα ἄξιον ἐκκλησίας ἐργάτην, πρεσβευτὴν δ' ἡμῶν θερμότατον.

Βαβαί! τῶν σῶν θαυμασίων, Χριστέ! σὺ τὰ ἀσθενῆ τοῦ κόσμου, ἰσχυρῶν ὑπέρτερα, καὶ γῆθεν εἰς οὐρανὸν μολεῖν ὑπόπτερα, ἠξίωσας ἀγαθέ, τῇ παρὰ σοῦ εὐδοκίᾳ καὶ χάριτι· Νικόλαον τὸν Πλανᾶν τῶν μυστηρίων διάκονον ἔχρισας· καὶ ἁγιωσύνης δόξαν τούτῳ ἐπεβράβευσας ἀναβάντι εἰς ὕψος καὶ ἡμῖν διδόντι δόματα.

Τὴν σὴν ὑμνοῦμεν τελείωσιν τῶν πιστῶν χορεῖαι, συμπολῖται Νάξιοι, καὶ πάντες οἱ διὰ σοῦ τὴν τοῦ Κυρίου ὁδὸν εὑρόντες, καὶ εὐσεβεῖν ἐν προσευχῇ, ἀγρυπνίᾳ, νηστείᾳ τε, προθύμως δ' ἐγκαρτερεῖν καὶ ἀγωνίζεσθαι τέλεον θέλοντες. Σὺ δὲ θεῖε πάτερ, ἱερεῦ Νικόλαε, μὴ ἐλλείπῃς πρεσβεύων, τῷ Χριστῷ ὑπὲρ τῶν τέκνων σου.

Προσόμοια ἕτερα.

Ἦχος δ΄. Ὡς γενναῖον ἐν μάρτυσι.

Ὡς φρονήματι ἔνθεον καὶ πιστὸν οἰκονόμον σε, ἱερὲ Νικό-

www.tezaurliturgic.ro


λαε, ἀνυμνοῦμέν σε· τὸν ἐν πολλοῖς καὶ πολλάκις τε ἀγῶσι τοῦ πνεύματος, ἀγρυπνίαις καὶ εὐχαῖς, μυστηρίων μεθέξεσι τῶν τῆς χάριτος καὶ πολλαῖς σου ταῖς ἐλεημοσύναις, δι᾽ ἀγάπην τοῦ Κυρίου αὐτῷ ἐνζήλως δουλεύσαντα.

Τὴν σοφίαν τοῦ Πνεύματος εἰσδεχθεὶς πάτερ ἅγιε, κατὰ νοῦν καὶ λόγον τε καὶ προαίρεσιν, ταύτης ἐπίλεκτον ὄργανον ἐγένου Νικόλαε ἱερώτατε Πλανᾶ, καὶ σοφῶς ᾠκονόμησας τὸ σὸν τάλαντον, ὅπερ ηὔξησας ζήλῳ σου ἐνθέῳ καὶ εἰσῆλθες ἐπαξίως εἰς τὴν χαρὰν τοῦ Κυρίου σου.

Σὲ ὁ κόσμος οὐχ εἵλκυσεν, οὐδὲ φίλον ἐκτήσατο, σὴν καρδίαν δ᾽ ἔδωκας τῷ Σωτῆρί σου· καὶ ἀποῤῥίψας τὰ μάταια, οὐράνιον εἴληφας κληρουχίαν καὶ ζωὴν καὶ τῆς δόξης τὸν στέφανον· διὸ πρέσβευε καὶ ἡμᾶς μετὰ σοῦ ἀξιωθῆναι τῆς χαρᾶς τῆς αἰωνίου, ἅγιε πάτερ Νικόλαε.

Δόξα. Ἦχος πλ. α΄.

Τοῖς ἀγαπῶσι τὸν Θεὸν πάντα συνεργεῖ εἰς ἀγαθόν, τοῖς κατὰ πρόθεσιν κλητοῖς οὖσιν, ἐν οἷς καὶ ἐπ᾽ ἐσχάτων ὁ ἡγιασμένος καὶ σεπτὸς Νικόλαος. Τοῦτον ὁ Θεὸς ὕψωσεν ἐν καθέδρᾳ πρεσβυτέρων καὶ ἐχαρίσατο αὐτῷ τὴν ἄνωθεν σοφίαν, ὑπεριδὼν τὰ τοῦ σκεύους ὑστερήματα· καὶ γὰρ τὰ ἀγενῆ τοῦ κόσμου καὶ τὰ ἐξουθενημένα ἐξελέξατο ὁ Θεὸς καὶ τὰ μὴ ὄντα, ἵνα τὰ ὄντα καταργήσῃ. Ἀπλανῶς δὲ ὁ Πλανᾶς ἐν τῷ φωτὶ περιπατῶν ἡμῖν τὰ ἄνω διδάσκει καὶ φρονεῖν καὶ πραγματεύεσθαι.

Καὶ νῦν. Ἐν τῇ Ἐρυθρᾷ θαλάσσῃ...

Ἢ τὸ τοῦ Τριῳδίου, κατὰ τὴν διάταξιν τοῦ Τυπικοῦ.

Εἴσοδος. Φῶς ἱλαρόν. Καὶ τὰ Ἀναγνώσματα (τῆς ἑορτῆς τοῦ Ἁγίου Ἀντωνίου, οὗτινος τὸ ἁπλοῦν καὶ τὴν λιτότητα ἐβίωσεν ἀναλόγως καὶ ὁ ἡμέτερος Ἅγιος).

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. γ΄ 1).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ᾽ ἡμῶν πορεία σύντριμμα· οἱ

www.tezaurliturgic.ro


δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται. Ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν Ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ᾽ αὐτῷ, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα

(Κεφ. ε′ 15 – Κεφ. ϛ′ 1).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην, καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα, ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν· συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς. Καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους Δυναστῶν. Ἀκούσατε οὖν Βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις Ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

www.tezaurliturgic.ro


Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. δ′ 7).

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον, οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως, βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη, καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ. Βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες, καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

Ἐν δὲ τῇ Μεγ. Τεσσαρακοστῇ, τελουμένης Προηγιασμένης, τὰ Ἀναγνώσματα τοῦ Τριῳδίου.

Εἰς τὴν Λιτήν.

Ἰδιόμελα. Ἦχος α′.

Τῆς Ναξίας τὸν γόνον καὶ σεπτὸν ἐγκαλλώπισμα ἐν ὕμνοις τιμήσωμεν ἡγιασμένον Νικόλαον τὸν Πλανᾶν μὲν τῇ κλήσει, ἀπλανῆ δὲ τὴν πίστιν καὶ τὸν βίον εὐσχήμονα καὶ θεοφιλῆ. Αὐτὸς γὰρ συγκαλεῖται εἰς τράπεζαν πνευματικὴν τὰ οἰκεῖα τέκνα καὶ φιλοπάτορα, οὐ βρώσει ξενίζων καὶ πόσει, ἀλλὰ δικαιοσύνην καὶ ἄσκησιν ὑποδεικνὺς εἰς ἁγιασμόν.

Ἦχος β′.

Πάτερ Νικόλαε, θείᾳ κλήσει ἑπόμενος καὶ τὴν γενέτειραν καταλιπών, παροικεῖς ἐν ταῖς Ἀθήναις. Θελήματι δὲ Θεοῦ τὸν ἐπίλοιπον ἐν σαρκὶ βιῶσαι χρόνον ἐπιποθῶν, αὐτῷ ἀφιέρωσαι. Καὶ ἱερωσύνης κλῆρον λαχών, ἀξίως τῷ Θεῷ ἐλειτούργεις. Πολλοὺς δὲ ἐμυσταγώγησας ἐν Κυρίῳ. Διὸ αἰτοῦμέν σε· μνημόνευε καὶ ἡμῶν τῶν κατὰ σάρκα καὶ πνεῦμα συγγόνων σου.

Ἦχος γ′.

Ἐν ἀγρυπνίαις πολλάκις, διανυκτερεύων ἐν τῇ προσευχῇ τοῦ

www.tezaurliturgic.ro


Θεοῦ, χαρίσματα οὐράνια ἀπείληφας, πάτερ. Ἀξίους δ' ἔσχες συνεργούς, ᾄδοντας καὶ ψάλλοντας ἐν τῇ καρδίᾳ αὐτῶν τῷ Κυρίῳ. Τούτων τὰ ὀνόματα περίπυστα τοῖς τῶν γραμμάτων ἐρασταῖς, τῷ δὲ Θεῷ γεγραμμένα ἐν βίβλῳ ζωῆς. Μεθ' ὧν, εὐχαῖς σου, καὶ τὰ ἡμῶν, πάτερ Νικόλαε, γραφήτωσαν.

Ἦχος δ'.

**Ἡ** κοίμησίς σου, ἅγιε, τὰ πλήθη συνήγαγε πρὸ τοῦ σεπτοῦ σου σκηνώματος, ἐπ' εὐλογίᾳ αὐτῶν, τὴν ἁγίαν σου χεῖρα εὐλαβῶς ἀσπαζομένων, ἣν ὁσίως ἐπαιρομένην ἐγίνωσκον καὶ τοῦ ἀμνοῦ τοῦ Θεοῦ ἁπτομένην, τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου καὶ ἡμῖν δωρουμένου ζωὴν τὴν αἰώνιον.

Δόξα... Ἦχος πλ. δ'.

**Τ**άδε ἔφη τῶν εἰδότων σε, πάτερ Νικόλαε, ὁ λόγος. Δεῦτε ἴδετε ἄνθρωπον ὄντως τοῦ Θεοῦ· αὐτοῦ θεράποντα γνήσιον· λειτουργὸν τῆς Χάριτος ἡγιασμένον· ἁπλοῦν τὸν τρόπον καὶ ἀφιλάργυρον· ἐν ἐλεημοσύναις καὶ οἰκτιρμοῖς πενήτων τὸν Χριστὸν ἀγαπῶντα καὶ διακονοῦντα. Ὁμολογοῦντες δὲ τὴν χάριν, κηρύττοντες τὸν ἔλεον καὶ μὴ κρύπτοντες τὴν εὐεργεσίαν, οἱ τὰ ἔργα σου τὰ καλὰ καὶ ὠφέλιμα τοῖς ἀνθρώποις ἐπιγινώσκοντες, ἐδόξαζον τὸν Πατέρα ἡμῶν τὸν ἐν τοῖς οὐρανοῖς, Ὃν εὐλογοῦμεν συμφώνως εἰς τοὺς αἰῶνας.

Καὶ νῦν. Δέσποινα πρόσδεξαι...

(Ἐν Σαββάτῳ· Ἀνύμφευτε Παρθένε... Ἐν τῇ Μ. Τεσσαρακοστῇ· Τοῦ Τριῳδίου, κατὰ τὴν τυπικὴν διάταξιν).

Εἰς τὸν Στίχον.

Προσόμοια. Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

**Χ**αίροις ὁ ἀνατείλας ἀστὴρ τῷ στερεώματι Κυκλάδων ὁρώμενος, τὴν Νάξον καταγλαΐσας καὶ εἰς Ἀθήνας ὀφθείς, φαεινὴν πορείαν ὡς διέγραφες, τὸ σχῆμα μικρόσωμος καὶ ἐν πᾶσιν ἀπέριττος, τὴν δὲ καρδίαν καὶ ψυχὴν πλατυνόμενος, ὡς ἐνῴκησεν ἐν σοὶ χάρις τοῦ Πνεύματος. Πάτερ Πλανᾶ Νικόλαε, τὴν μνήμην σου σέβομεν καὶ ταῖς εὐχαῖς σου θαρροῦμεν ταύτας

www.tezaurliturgic.ro


θερμῶς ἐξαιτούμενοι καὶ σὲ ἀνυμνοῦντες ὡς σεπτὸν ἡμῶν πατέρα καὶ ἀντιλήπτορα.

Στίχ. Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

Χαίροις ὁ ζήλου θείου πλησθεὶς καὶ τὸν ὁμώνυμον ζηλώσας Νικόλαον, τῆς πίστεως τὸν κανόνα καὶ ἐγκρατείας πυρσόν, ἅμα καὶ εἰκόνα τῆς πραότητος. Σέ, τοίνυν, γεραίρομεν τὸν πραΰν καὶ ἡσύχιον τὸν ταπεινώσει καὶ ἁπλότητι κρύψαντα τὸν πολύτιμον μαργαρίτην τῆς Χάριτος· Πάτερ Πλανᾶ Νικόλαε, ζηλῶν τὰς τοῦ Πνεύματος ἐπιθυμίας ἐκ βρέφους μέχρι πρεσβείου καὶ γήρατος, ἡμᾶς σαῖς πρεσβείαις μιμητάς σου δὸς γενέσθαι τοὺς σὲ γεραίροντας.

Στίχ. Τὸ στόμα μου λαλήσει σοφίαν καὶ ἡ μελέτη τῆς καρδίας μου σύνεσιν.

Χαίρει ὁ οὐρανὸς καὶ ἡ γῆ καὶ ἐναμίλλως τὴν χαρὰν ἐμερίσαντο, Νικόλαον προσφωνοῦντες ὥσπερ πολίτην αὐτῶν, καὶ ὡς ἀμφοτέρων ἀκροθίνιον ὁ μὲν ἐπουράνιον τὸν ἐκ γῆς ἀνηγόρευσεν, ἡ δ' ἐγκαυχᾶται ὡς ἰσάγγελον θρέψασα καὶ κοινὸν αὐτοῖς θησαυρὸν ἐλογίσαντο. Ἄνθρωπε ἐπουράνιε, ἐπίγειε ἄγγελε, Πάτερ Πλανᾶ, ἀνυμνοῦμεν οἱ γηγενεῖς καὶ δεόμεθα οὐράνιον τόπον καὶ ἡμῖν διδόναι αἴτησαι τὸν Φιλάνθρωπον.

Δόξα... Ἦχος πλ. β΄.

Σήμερον συγκαλεῖται ἡμᾶς τοῦ νεοφανοῦς πατρὸς Νικολάου τοῦ Πλανᾶ ἡ σεβάσμιος πανήγυρις. Οὗτος γάρ, τὸν Θεὸν ἀγαπήσας καὶ δι' αὐτὸν σκύβαλα ἡγούμενος πάντα, ὁσίως καὶ δικαίως καὶ εὐσεβῶς ἔζησεν ἐν τῷ νῦν αἰῶνι, ἵνα Χριστὸν κερδήσῃ· ᾧ καὶ πρεσβεύει ἀδιαλείπτως ὑπὲρ ἡμῶν, τῶν πατρώζοντι ζήλῳ τιμώντων τὴν ἁγίαν μνήμην αὐτοῦ.

Καὶ νῦν...

Θεοτόκε σὺ εἶ ἡ ἄμπελος ἡ ἀληθινή, ἡ βλαστήσασα τὸν καρπὸν τῆς ζωῆς. Σὲ ἱκετεύομεν, πρέσβευε Δέσποινα, μετὰ τοῦ

www.tezaurliturgic.ro


θεοφόρου Πλανᾶ τοῦ Νικολάου, καὶ πάντων τῶν Ἁγίων, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Νῦν ἀπολύεις... Τρισάγιον. Ὅτι σοῦ ἐστιν ἡ βασιλεία...

Ἀπολυτίκιον. Ἦχος α'. Τῆς ἐρήμου πολίτης.

Τὰς τοῦ πλάνου παγίδας ἐκφυγών, ἱερώτατε, ἀπλανῶς ἐπορεύθης διὰ βίου, πατὴρ ἡμῶν, Νικόλαε ἀοίδιμε Πλανᾶ, οὐράνια χαρίσματα λαβών, ἀγρυπνίαις καὶ νηστείαις, ἱερουργῶν ὁσίως τῷ Κυρίῳ σου. Ὅνπερ καθικετεύων ἐκτενῶς, Νάξιον ἱεράτευμα, πρέσβευε δωρηθῆναι καὶ ἡμῖν τὸ θεῖον ἔλεος.

Θεοτοκίον. Τοῦ Γαβριὴλ φθεγξαμένου σοι...

Καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro


## ΕΝ Τῼ ΟΡΘΡῼ

Μετὰ τὸν Ἑξάψαλμον καὶ τὰ εἰρηνικά· εἰς τό, Θεὸς Κύριος· τὸ Ἀπολυτίκιον τοῦ Ἁγίου καὶ τὸ Θεοτοκίον, ὡς ἐν τῷ Ἑσπερινῷ. Εἶτα τὰ Καθίσματα.

Μετὰ τὴν α′ Στιχολογίαν.

Ἦχος δ′. Ταχὺ προκατάλαβε.

Ἐκ παίδων ἠγάπησας Χριστὸν τῶν πάντων Θεόν, παμμάκαρ Νικόλαε καὶ θεοφόρε Πλανᾶ, τὴν κλῆσιν δεξάμενος· Ὅνπερ καὶ διὰ βίου διηκόνεις ἐνθέως, χάριν ἱερωσύνης ἐνδυσάμενος, πάτερ. Αὐτὸν οὖν ἐκδυσώπει ἀεὶ ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

Θεοτοκίον.

Παρθένε μητρόθεε, τῶν ταπεινῶν ἡ ἐλπίς, φιλόχριστον ἔγνωκας τοῦ Νικολάου ψυχὴν ἐκ πρώτης νεότητος· τούτῳ εἰς προστασίαν μητρικῶς συμπαρέστης, χάριν τὴν τοῦ υἱοῦ σου ἐπ' αὐτὸν ἐπισπῶσα. Καὶ ἅγιον εἰσδέδεξαι νῦν Χριστοῦ εἰς βασίλειον.

Μετὰ τὴν β′ Στιχολογίαν.

Ἦχος ὁ αὐτός. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Τοῦ θεοφόρου Νικολάου τὴν μνήμην τοῦ ὡς Πλανᾶ γινωσκομένου πρεσβύτου ἐπιτελοῦντες Νάξιοι καὶ πάντες ὁμοῦ οἱ ἐκείνου ἔκγονοι καὶ οἰκεῖοι τῇ πίστει, τοῖς αὐτοῦ λειψάνοις νῦν προσιόντες ἐκ πόθου, τὴν εὐωδίαν λάβωμεν τερπνῶς καὶ εὐλογίαν ἁγίου πατρὸς ἡμῶν.

www.tezaurliturgic.ro


### Θεοτοκίον.

Τῇ Θεοτόκῳ ἐκτενῶς νῦν προσδράμωμεν, ἁμαρτωλοὶ καὶ ταπεινοί, καὶ προσπέσωμεν, ἐν μετανοίᾳ κράζοντες ἐκ βάθους ψυχῆς· Δέσποινα, βοήθησον, ἐφ' ἡμῖν σπλαγχνισθεῖσα, σπεῦσον, ἀπολλύμεθα ὑπὸ πλήθους πταισμάτων. Μὴ ἀποστρέψῃς σοὺς δούλους κενούς, σὲ γὰρ καὶ μόνην ἐλπίδα κεκτήμεθα.

### Ὁ Πολυέλεος·

α) Δοῦλοι Κύριον...

β) Ἐξομολογεῖσθε τῷ Κυρίῳ ὅτι ἀγαθός...

Ἐπεφάνη, Ἅγιε, σεπτὴ μορφή σου,

γ) (Ἐκλογή). Τῆς δεήσεώς μου. Ὑπομένων ὑπέμεινα τὸν Κύριον...

### Κάθισμα, μετὰ τὸν Πολυέλεον·

### Ἐπεφάνης σήμερον.

Ἐπεφάνη, Ἅγιε, σεπτὴ μορφή σου, τοὺς πιστοὺς φαιδρύνουσα τῇ θείᾳ μνήμῃ σου, Πλανᾶ, πατὴρ ἡμῶν ἱερώτατε, ἁγιωσύνης εἰκόνα προβάλλουσα.

### Θεοτοκίον.

Παναγία Δέσποινα, Σὲ εὐλογοῦμεν, κραταιὰν ἀντίληψιν θερμῶς αἰτοῦντες παρὰ Σοῦ σὺν Νικολάου ἐντεύξεσι τοῦ πανιέρου πατρὸς δυναμούμενοι.

### Καὶ οἱ Ἀναβαθμοὶ τοῦ δ' ἤχου·

Ἐκ νεότητός μου...

### Προκείμενον·

Οἱ ἱερεῖς σου, Κύριε, ἐνδύσονται δικαιοσύνην, καὶ οἱ ὅσιοί σου ἀγαλλιάσει ἀγαλλιάσονται.

### Εὐαγγέλιον·

Ἐκ τοῦ κατὰ Ματθαῖον (Κεφ. ιη' 10–20).

Εἶπεν ὁ Κύριος· Ὁρᾶτε, μὴ καταφρονήσητε ἑνὸς τῶν μικρῶν

www.tezaurliturgic.ro


τούτων· λέγω γὰρ ὑμῖν, ὅτι οἱ Ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διὰ παντὸς βλέπουσι τὸ πρόσωπον τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Ἦλθε γὰρ ὁ Υἱὸς τοῦ ἀνθρώπου σῶσαι τὸ ἀπολωλός. Τί ὑμῖν δοκεῖ; ἐὰν γένηταί τινι ἀνθρώπῳ ἑκατὸν πρόβατα, καὶ πλανηθῇ ἓν ἐξ αὐτῶν, οὐχὶ ἀφεὶς τὰ ἐνενήκοντα ἐννέα, ἐπὶ τὰ ὄρη, πορευθεὶς ζητεῖ τὸ πλανώμενον; Καὶ ἐὰν γένηται εὑρεῖν αὐτό, ἀμὴν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον, ἢ ἐπὶ τοῖς ἐνενήκοντα ἐννέα, τοῖς μὴ πεπλανημένοις. Οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ Πατρὸς ὑμῶν τοῦ ἐν οὐρανοῖς, ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. Ἐὰν δὲ ἁμαρτήσῃ εἰς σὲ ὁ ἀδελφός σου, ὕπαγε καὶ ἔλεγξον αὐτὸν μεταξὺ σοῦ καὶ αὐτοῦ μόνου· ἐάν σου ἀκούσῃ, ἐκέρδησας τὸν ἀδελφόν σου· ἐὰν δὲ μὴ ἀκούσῃ, παράλαβε μετὰ σοῦ ἔτι ἕνα ἢ δύο· ἵνα ἐπὶ στόματος δύο μαρτύρων ἢ τριῶν σταθῇ πᾶν ῥῆμα. Ἐὰν δὲ παρακούσῃ αὐτῶν, εἰπὲ τῇ ἐκκλησίᾳ· ἐὰν δὲ καὶ τῆς ἐκκλησίας παρακούσῃ, ἔστω σοι ὥσπερ ὁ ἐθνικὸς καὶ ὁ τελώνης. Ἀμὴν λέγω ὑμῖν, ὅσα ἐὰν δήσητε ἐπὶ τῆς γῆς, ἔσται δεδεμένα ἐν τῷ οὐρανῷ· καὶ ὅσα ἐὰν λύσητε ἐπὶ τῆς γῆς, ἔσται λελυμένα ἐν τῷ οὐρανῷ. Πάλιν ἀμὴν λέγω ὑμῖν, ὅτι ἐὰν δύο ὑμῶν συμφωνήσωσιν ἐπὶ τῆς γῆς περὶ παντὸς πράγματος, οὗ ἐὰν αἰτήσωνται, γενήσεται αὐτοῖς παρὰ τοῦ Πατρός μου τοῦ ἐν οὐρανοῖς. Οὗ γάρ εἰσι δύο ἢ τρεῖς συνηγμένοι εἰς τὸ ἐμὸν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.

Μετὰ τὸν Ν' Ψαλμόν·

Δόξα Πατρί... Καὶ νῦν...

Ταῖς τοῦ σοῦ Ἁγίου πρεσβείαις...
Ταῖς τῆς Θεοτόκου...

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου...

Ἰδιόμελον. Ἦχος β'.

Μητρὸς συμβουλῇ καὶ θερμῇ ἀξιώσει συζυγίαν, Ἅγιε, ἀνεδέχθης προώρως· ἄλλως δὲ τὰ κατὰ σὲ ὁ Θεὸς οἰκονομεῖ, τὴν ἐπὶ τέκνῳ χαρὰν τῇ χηρείᾳ συγκιρνῶν. Σὺ δὲ Αὐτῷ ὁλοθύμως ἀφιέρωσαι, ἱερωσύνην ἀμπεχόμενος, ὁσίως ἱερατεύσας, καὶ τοῦ ἐπουρανίου νῦν θυσιαστηρίου λειτουργὸς γενόμενος.

Σῶσον ὁ Θεὸς τὸν λαόν Σου...

Εἶτα· Ὁ Κανὼν τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς·

ΙΕΡῼ ΝΙΚΟΛΑῼ ΠΛΑΝᾼ ῼΔΗ ΝΙΚΟΔΗΜΟΥ

Ἦχος δ'.

ᾨδὴ α'. Ἀνοίξω τὸ στόμα μου.

Ἱκέσιον, Ἅγιε, ᾠδὴν ψαλῶ σοι, Νικόλαε· καὶ ὕμνον σοι ᾄσομαι, σαῖς ἀρεταῖς ἀφορῶν· σὺ δὲ πρόστηθι λαμπρῶς τῇ πανηγύρει Χριστῷ προσφθεγγόμενος, ὅτι δεδόξασται.

Ἐρῶν ἐκ νεότητος τῇ ἀγαπήσει τοῦ πλάσαντος τὰ πάντα κατέλιπες ἀκολουθήσας Χριστῷ Ὧ παρέδωκας σαὐτὸν τῇ προαιρέσει παμμάκαρ Νικόλαε, ὅτι δεδόξασται.

Ῥεόντων ἠλόγησας καὶ τῶν ματαίων Νικόλαε, Πλανᾶ ἁγιώτατε, ἵνα κερδήσῃς Χριστόν, τὸν λυτρούμενον ἀπὸ πειρατηρίων τοὺς κραυγάζοντας, ὅτι δεδόξασται.

Θεοτοκίον.

Ὡραῖον τῷ κάλλει Σὺ γεννησαμένη, Πανάχραντε, Χριστὸν τὸν Θεὸν ἡμῶν τὸν ὑψωθέντα Σταυρῷ, καθικέτευε, ἐξ ἐναντίων πάντων, ῥυσθῆναι τοὺς κράζοντας, ὅτι δεδόξασται.

ᾨδὴ γ'. Τοὺς σοὺς ὑμνολόγους.

Ναξίων ἡ χώρα εὐφορίαν παντοίων πλουτοῦσα ἀγαθῶν νῦν πλοῦτον ἀδαπάνητον, δυώνυμον ἐκτήσατο, Νικόδημον, Νικόλαον, οὓς ὁ Χριστὸς ἐστερέωσεν.

Ἰδὼν τὸν Νικόδημον τὸν πάνυ, τὸν μέγαν ἁγιορείτην καὶ κλεινὸν καὶ συμπολίτην ἅγιον Νικόλαος ὁ Νάξιος ἐν τῇ αὐτῇ στενῇ ὁδῷ ἁγιασθεὶς ἐστερέωτο.

Καλοῦσιν ἀμφότεροι τὸν δῆμον, Ναξίων λαὸν τὸν εὐσεβῆ, μὴ ὥσπερ συμπολίτας δεῖν ἁγίων ἐναβρύνεσθαι ἀλλὰ καὶ μιμητὰς αὐτῶν ὀφθῆναι τῷ στερεώματι.

Θεοτοκίον.

Ὁ ἄχραντος Τόκος σου, Παρθένε, ἁγίων ἁγίαν Σε εἰδώς, ἐνῴκησεν ἐν μήτρᾳ Σου, λυτρώσων κόσμον ἅπαντα, καὶ ἐξ ἑνὸς ἡγίασε Πατρὸς τοὺς Σὲ μακαρίζοντας.

Μεσῴδιον Κάθισμα· Ἡ Παρθένος σήμερον.

Νικολάου σήμερον Πλανᾶ τὴν μνήμην τελοῦντες καὶ παννύχοις ᾄσμασιν αὐτὸν ἀξίως ὑμνοῦντες οἴδαμεν ἀγρυπνιῶν πρωτοστάτην ἔγνωμεν αὐτὸν μετάρσιον ὄντα τῷ Θεῷ ἡγιασμένον καθάπερ μύστην Αὐτοῦ τῆς χάριτος.

Θεοτοκίον.

Ἡ Παρθένος Δέσποινα καὶ Θεοτόκος Μαρία τῷ Θεῷ παρίστησι λαὸν κατεσκευασμένον, πρόσλημμα δοῦσα ἀνθρώπειον τῷ Σωτῆρι, σώσαντι τὸ προσληφθὲν ὡς Υἱῷ καὶ Λόγῳ τοῦ Θεοῦ τοῦ ἀοράτου οἰκονομίᾳ Αὐτοῦ τῆς χάριτος.

Ὠδὴ δ'. Ὁ καθήμενος ἐν δόξῃ.

Λόγον ἀτελῆ ἀρθρώσας ὁ παμμάκαρ Νικόλαος, καὶ τῷ βραδυγλώσσῳ πάλαι Μωϋσεῖ ὁμοιούμενος, πολλοὺς Κυρίῳ φωτίσας οὐχ ὑστέρησεν· οἳ καὶ μέλπουσι· δόξα Χριστὲ τῇ δυνάμει σου.

Ἀαρὼν συμπαραστάτης Μωϋσέως ἐγένετο καὶ τῷ Νικολάῳ ἦλθεν ἀρωγὸς ὁ Παράκλητος αὐτοῦ κρατύνας τὴν πίστιν· καὶ ἰσχνόφωνον ἐθαυμάστωσε, δόξα κραυγάζειν τῷ κράτει σου.

Θεοτοκίον.

Ὦ Πανύμνητε Παρθένε, Θεοτόκε ἀνύμφευτε, Σὺ τῶν ἱερέων καύχημα λαμπρὸν καὶ σεβάσμιον, ἁγίων δόξα ὑπάρχεις καὶ διάδημα καὶ κραταίωμα καὶ τῶν δικαίων ὁ στέφανος.

Ὠδὴ ε'. Ἐξέστη τὰ σύμπαντα.

Πλανᾶς ὁ Νικόλαος, ὁ ταπεινὸς πρεσβύτερος ὤφθη ἐκλεκτὸς Χριστοῦ ἐργάτης, μικρὸς τὸ δέμας, πεφωτισμένος τὸν νοῦν, πίστει τῶν σοφῶν ὑπερτερῶν, ὄρθρῳ καὶ νυχθήμερον τῷ φωτὶ αὐγαζόμενος.

www.tezaurliturgic.ro


Λαμπτὴρ φαεινότατος, ἐπὶ τῇ θείᾳ δόξῃ σου, φαίνει ὀφθαλμοῖς παιδίων, πάτερ, ἱερουργῶν δὲ μετὰ ἀγγέλων φαιδρῶν ὤφθης μὴ πατῶν ἐπὶ τῆς γῆς ἄνθρωπος οὐράνιος καὶ ἐπίγειος ἄγγελος.

Ἀγγέλων ὁμόσκηνος καὶ τῶν ἁγίων γέγονας καὶ τῆς Ἐκκλησίας πρωτοτόκων ἐν οὐρανοῖς ἀπογεγραμμένων, Σὺ μέτοχος ὑπάρχεις ἀληθῶς ἅγιε Νικόλαε, καὶ ἡμῶν πρέσβυς ἄριστος.

Θεοτοκίον.

Ναὸς καθαρώτατος Χριστοῦ Σωτῆρος γέγονας, Ἄχραντε Παρθένε Θεοτόκε, ἀχειροποίητος καὶ θεόπλαστος, Πνεῦμα ὡς ἐσκήνωσεν ἐν σοὶ δύναμις ὑψίστου τε σῇ γαστρὶ ἐπεφοίτησεν.

Ὠδὴ στ΄. Τὴν θείαν ταύτην καὶ πάντιμον.

Ἁγνὴ καρδία σου, Ἅγιε, δοχεῖον ὡς τοῦ Πνεύματος γέγονε, τὴν ἀναγέννησιν ἄνωθεν σοὶ ἐχαρίσατο καὶ τὴν σοφίαν, πάτερ Πλανᾶ Νικόλαε.

Ὡς μέγα ὄντως μυστήριον! ἁπλοῦς καὶ ἰδιώτης, Νικόλαε, πῶς κεχαρίτωσαι! Τῇ ἐπελεύσει τοῦ Πνεύματος καὶ προαιρέσει ἔνδοθεν τῇ ἁγίᾳ σου.

Δεκτὸν πρεσβείας θυμίαμα ἐνώπιον Κυρίου προσάγαγε, πάτερ Νικόλαε, σῇ παρρησίᾳ χρησάμενος ὑπὲρ ἡμῶν, δεόμεθα, τῶν ὑμνούντων σε.

Θεοτοκίον.

Ἡ μόνη Σὺ ἀειπάρθενος τεκοῦσα τὸν Σωτῆρα καὶ Κύριον, δέξαι τὴν δέησιν τῶν ἱκετῶν Σου, Πανάχραντε, καὶ τῶν σκανδάλων ῥῦσαι τοῦ πολεμήτορος.

Κοντάκιον.

Ἦχος βαρύς. Ἐπὶ τοῦ ὄρους μετεμορφώθης.

Ἐν παντὶ ἔθνει, καιρῷ καὶ χρόνῳ Θεὸς ἀμάρτυρον οὐκ ἀφῆκεν Αὐτοῦ τὴν θείαν δόξαν καὶ τὴν θειότητα· τοὺς δὲ ὄντας ἁγίους ἐν τῇ γῇ αὐτοῦ καὶ Πλανᾶν τὸν Νικόλαον ἐδόξασε· καὶ

www.tezaurliturgic.ro


ἡμῖν ἐδωρήσατο πρεσβευτήν, πατέρα, καὶ θερμὸν ἐν ἀνάγκαις ἀντιλήπτορα.

Ὁ Οἶκος.

Ἄγγελοι οὐρανόθεν ὑπεδέξαντο, πάτερ Νικόλαε Πλανᾶ, τὴν ψυχήν σου. Καὶ ἰσάγγελον γνόντες αὐτήν, εἰ καὶ σάρκα ἔφερεν ἐν γῇ, ἔχαιρον· δοξάζοντες δὲ ὕμνησαν Παντάνακτα Χριστὸν βοῶντες· Αἶνος πρέπει Σοι τῷ Θεῷ ἡμῶν.

Βλέπουσα ἡ ἁγία ἐπὶ γῆς Ἐκκλησία δόξαν τοῦ μακαρίου Νικολάου προϊοῦσαν, ὡς μαρτυρίαν σχόντα ἀγαθὴν καὶ Θεῷ εὐαρεστήσαντα πιστῶς σὺν ἁγίοις τοῦτον ἀριθμεῖ, πρεσβευτὴν δ' ἐκδεχομένη καὶ θερμὸν ἀντιλήπτορα, ἐκβοᾷ·

Χαίροις, Πάτερ Νικόλαε.

Εἶτα τὸ Συναξάριον τοῦ Μηναίου. Μεθ' ὅ:

..............................................................................................

Τῇ αὐτῇ ἡμέρᾳ ἐκοιμήθη ἐν Κυρίῳ (ἐν ἔτει 1932) ὁ μακάριος ἱερεὺς Νικόλαος Πλανᾶς, ὁ ἐκ τῆς νήσου Νάξου, ἡγιασμένος λειτουργὸς τοῦ Ὑψίστου· καταριθμηθεὶς δ' ἐν τοῖς ἑορταζομένοις ἁγίοις [διὰ σεπτῆς Πατριαρχικῆς Πράξεως τοῦ Οἰκουμενικοῦ Πατριαρχείου (1992)], ἑορτίως τιμᾶται, ἐπὶ τῇ ἐπετείῳ τῆς κοιμήσεως, οὐ μὴν ἀλλὰ καὶ τῆς πρότριτα εἰς πρεσβύτερον χειροτονίας αὐτοῦ.

Στίχ. Κοιμηθεὶς ὑψοῦται ἀπλανὴς ἐν τῷ πόλῳ, ἱερεὺς Πλανᾶς ὁ Νικόλαος, λάμψας.

Δευτερίῃ δεύτερος, τῇ Νάξῳ φωστήρ, φέγγει.

Ὠδὴ ζ'. Οὐκ ἐλάτρευσαν.

Νεουργεῖσά σε ἡ χάρις ἡ τοῦ Πνεύματος, Πάτερ Νικόλαε, ἕως πρεσβείου τηρεῖ ἀκμαῖον τὸ φρόνημα, Χριστῷ δουλεύοντα, καὶ προσᾴδοντα· Ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

Ἱεράτευμα Χριστοῦ σε ἀπειργάσατο Πνεῦμα Παράκλητον, ἡγιασμένον Θεῷ, Νικόλαε ἔνθεε, Πλανᾶ μακάριε, ὕμνοις μέλποντα· Ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

www.tezaurliturgic.ro


### Θεοτοκίον.

Κεραννύμενον ποτήριον τοῦ Σώματος Χριστοῦ καὶ Αἵματος, ὤφθης Παρθένε ἁγνή, ἐξ οὗ ἀπολαύομεν πόμα σωτήριον οἱ κραυγάζοντες· Ὁ τῶν Πατέρων Κύριος καὶ Θεὸς εὐλογητὸς εἶ.

### Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.

Ὅλος ἐκ νεότητος ἐδόθης Χριστῷ ἐκ καρδίας σου ἀνάθημα, ἅγιε Νικόλαε, λευΐτα ἱερώτατε, αὐτῷ λατρεύων ἔννυχα εὐχαῖς καὶ ψάλμασι· Τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

Δεῦτε, ἱερεῖς Κυρίου, ὕμνοις αἰνέσατε ἀδελφὸν συλλειτουργὸν ὑμῶν, πρότριτα κυκλώσαντα ναῶν ἁγίων Τράπεζαν, νῦν δὲ ὑπερουράνιον θυσιαστήριον θεώμενον, καὶ θρόνον Ὑψίστου, Ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

### Θεοτοκίον.

Ἧκες εἰς οὐράνιον παστάδα θεόνυμφε Παναγία, κόσμου Δέσποινα· ὅθεν ἱκετεύομεν, οἱ δοῦλοί σου, αἰτούμενοι, ὑπὲρ ἡμῶν πρεσβεύουσα τῷ σῷ υἱῷ καὶ Θεῷ ἱλέωσαι ψυχαῖς ἡμετέραις, Ὃν ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

### Ὠδὴ θ΄. Ἅπας γηγενής.

Μέλλουσαν ζωὴν ἐκέρδησας ἅγιε, λιπὼν ἐγκόσμια, πρὸς αὐτὴν δὲ ἴθυνες τὰ σὰ τεκνία καὶ ἐνορίτας σου· νυχθημερὸν λατρεύων δὲ Χριστῷ τῷ ζῶντι Θεῷ ὀνομάτων τούτων ἐμνημόνευες σωτηρίαν ψυχῶν ἐξαιτούμενος.

Ὁ καλὸς ποιμήν, τὰ ἴδια πρόβατα καλεῖ κατ' ὄνομα· σὺ δ' ὡς ἐφημέριος φύλαξ ἐγένου τῶν προσιόντων σοι πάτερ Πλανᾶ Νικόλαε, καὶ ἀντιλήπτωρ θερμός, τῷ Κυρίῳ τούτους ἀναθέμενος σεαυτὸν δὲ διδοὺς τύπον ἅπασι.

### Θεοτοκίον.

Ὕμνους ἱερούς, μυρίους ἂν ψάλωμεν, οὐδέν σοι ἄξιον, Δέσποινα, τελέσωμεν, ἀνθ' ὧν ἐλάβομεν δωρημάτων σου. Σὺ δὲ

www.tezaurliturgic.ro


ἡμῶν μεσίτρια γενοῦ πρὸς Κύριον καὶ ἐν σκέπῃ φύλαττε πτερύγων σου, δεξαμένη λιτὴν ἡμῶν αἴνεσιν.

Ἐξαποστειλάριον.

Ἦχος γ'. Ἀπόστολοι ἐκ περάτων.

Ἡ Νάξος νῦν ἐγκαυχᾶται ἐν σοί, Νικόλαε πάτερ καὶ γηθομένη γεραίρει ὡς αὐτῆς γόνον σε σεπτὸν ταῖς σαῖς πρεσβείαις αἰτοῦσα ῥυσθῆναι πάσης ἀνάγκης.

Θεοτοκίον.

Ὁ γλυκασμὸς τῶν ἀγγέλων, τῶν θλιβομένων ἡ χαρά, χριστιανῶν ἡ προστάτις, Παρθένε Μήτηρ Κυρίου· ἀντιλαβοῦ μου καὶ ῥῦσαι τῶν αἰωνίων βασάνων.

Εἰς τοὺς Αἴνους. Στιχηρὰ προσόμοια.

Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ἔχει τὸ σὸν πνεῦμα οὐρανός, γῆ δέ σου τὰ λείψανα, πάτερ, τὰ εὐωδέστατα, ἅγιε Νικόλαε, ἐν τῷ Προδρόμου ναῷ ἔνθα ἔλαχες πρότριτα τῆς ἐφημερίας, ἐκ νυκτὸς δὲ ὤρθριζες ἱερουργεῖν τῷ Θεῷ, νῦν δὲ πρὸς οὐράνιον δόξαν ἀναβάς, μνημόνευε πάντων τῶν ἀνευφημούντων σε, μακάριε.

Πόλις Ἀθηνῶν σε νῦν πλουτεῖ, ἧς ἐν τοῖς ναοῖς ἐλειτούργεις ἀδιαλείπτως αἰνῶν, ἅγιε Νικόλαε Πλανᾶ, Χριστὸν τὸν Θεόν· τὸ μικρὸν δέ σου ποίμνιον τῶν χρόνων ἐκείνων ὑπέρμεγα γέγονεν ἐκ πληθυσμοῦ συῤῥοῆς· Σὺ δέ, εὐσεβείᾳ αὐξήσας τοῦτο, τῷ Κυρίῳ πρεσβεύων, αἴτησαι σωθῆναι, πάτερ, ἅγιε.

Πάντων πενομένων ἀρωγὸς γέγονας, Νικόλαε πάτερ, σῷ ὑστερήματι, πλοῦτον δ' ἀδαπάνητον ἐν οὐρανῷ κομιεῖς, βασιλείαν τε μένουσαν, τὴν ἡτοιμασμένην πᾶσι τοῖς παρέχουσι πεινῶσιν ἄρτον, ὡς σύ, καὶ ὡς ἀδελφοῖς τοῦ Κυρίου, εἰ καὶ ἐλαχίστοις ἐν κόσμῳ, ἔλεον δεικνῦσιν ἱλαρώτατον.

Δεῦτε τῶν Ναξίων ἡ πληθὺς καὶ τῶν Ἀθηναίων χορεῖαι τῶν εὐσεβούντων πιστῶς, ἅγιον Νικόλαον Πλανᾶν αἰνέσωμεν· οἱ μὲν θρέμμα πανόσιον καλῆς ἡμῶν νήσου, οἱ δὲ τὸν ποιμάναντα

www.tezaurliturgic.ro


θεοφιλῶς τὸν λαὸν καὶ ἐνοριῶν ἐν τῷ ἄστει, μετὰ ἁγιότητος βίου, καλῶς προϊστάμενον γεραίροντες.

Δόξα. Ἦχος α΄.

Τὸν ἐπὶ γῆς ἄγγελον καὶ ἐν οὐρανοῖς ἄνθρωπον Θεοῦ, τὸν ἐν ἱερεῦσιν ἁπλοῦν ἅμα καὶ σοφόν· τὸν ἐν τοῖς ἐσχάτοις χρόνοις ἡγιασμένον φανέντα, ἐν πᾶσι τὰ ἀρεστὰ τῷ Κυρίῳ ἰχνηλατοῦντα καὶ τοῖς ἀνθρώποις τὰ καλὰ καὶ ὠφέλιμα πράττοντα, Νικόλαον τιμήσωμεν Πλανᾶν τὸν ἐκ Ναξίας, Ἀθηνῶν ἱεράτευμα ἅγιον. Αὐτοῦ ταῖς ἱκεσίαις, καὶ τῇ πρὸς Θεὸν βεβαίᾳ παρρησίᾳ ἐλεηθῆναι δεόμεθα καὶ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

Καὶ νῦν. Ἁμαρτωλῶν τὰς δεήσεις προσδεχομένη...

Ἢ τὸ τοῦ Τριῳδίου, κατὰ τὴν Τυπικὴν διάταξιν ὁριζόμενον.

Δοξολογία Μεγάλη.

www.tezaurliturgic.ro


# ΕΝ Τῌ ΘΕΙᾼ ΛΕΙΤΟΥΡΓΙᾼ

## Ἀπόστολος

Πρὸς Ἑβραίους Ἐπιστολῆς Παύλου τὸ Ἀνάγνωσμα.

Ἀδελφοί, πείθεσθε τοῖς ἡγουμένοις ὑμῶν καὶ ὑπείκετε· αὐτοὶ γὰρ ἀγρυπνοῦσιν ὑπὲρ τῶν ψυχῶν ὑμῶν ὡς λόγον ἀποδώσοντες· ἵνα μετὰ χαρᾶς τοῦτο ποιῶσι καὶ μὴ στενάζοντες· ἀλυσιτελὲς γὰρ ὑμῖν τοῦτο. Προσεύχεσθε περὶ ἡμῶν· πεποίθαμεν γὰρ ὅτι καλὴν συνείδησιν ἔχομεν, ἐν πᾶσι καλῶς θέλοντες ἀναστρέφεσθαι. Περισσοτέρως δὲ παρακαλῶ τοῦτο ποιῆσαι, ἵνα τάχιον ἀποκατασταθῶ ὑμῖν. Ὁ δὲ Θεὸς τῆς εἰρήνης, ὁ ἀναγαγὼν ἐκ νεκρῶν «τὸν ποιμένα τῶν προβάτων» τὸν μέγαν «ἐν αἵματι διαθήκης αἰωνίου», τὸν Κύριον ἡμῶν Ἰησοῦν, καταρτίσαι ὑμᾶς ἐν παντὶ ἔργῳ ἀγαθῷ εἰς τὸ ποιῆσαι τὸ θέλημα αὐτοῦ, ποιῶν ἐν ὑμῖν τὸ εὐάρεστον ἐνώπιον αὐτοῦ διὰ Ἰησοῦ Χριστοῦ, ᾧ ἡ δόξα εἰς τοὺς αἰῶνας τῶν αἰώνων· ἀμήν.

## Εὐαγγέλιον

Ἐκ τοῦ κατὰ Λουκᾶν ἁγίου Εὐαγγελίου τὸ Ἀνάγνωσμα.

Τῷ καιρῷ ἐκείνῳ, ἔστη ὁ Ἰησοῦς ἐπὶ τόπου πεδινοῦ, καὶ ὄχλος μαθητῶν αὐτοῦ, καὶ πλῆθος πολὺ τοῦ λαοῦ ἀπὸ πάσης τῆς Ἰουδαίας καὶ Ἱερουσαλήμ, καὶ τῆς παραλίου Τύρου καὶ Σιδῶνος, οἳ ἦλθον ἀκοῦσαι αὐτοῦ, καὶ ἰαθῆναι ἀπὸ τῶν νόσων αὐτῶν, καὶ οἱ ὀχλούμενοι ὑπὸ πνευμάτων ἀκαθάρτων, καὶ ἐθεραπεύοντο. Καὶ πᾶς ὁ ὄχλος ἐζήτει ἅπτεσθαι αὐτοῦ· ὅτι δύναμις παρ' αὐτοῦ ἐξήρχετο, καὶ ἰᾶτο πάντας. Καὶ αὐτός, ἐπάρας

www.tezaurliturgic.ro


τοὺς ὀφθαλμοὺς αὐτοῦ εἰς τοὺς Μαθητὰς αὐτοῦ, ἔλεγε˙ Μακάριοι οἱ πτωχοί, ὅτι ὑμετέρα ἐστὶν ἡ βασιλεία τοῦ Θεοῦ. Μακάριοι οἱ πεινῶντες νῦν, ὅτι χορτασθήσεσθε. Μακάριοι οἱ κλαίοντες νῦν, ὅτι γελάσετε. Μακάριοί ἐστε, ὅταν μισήσωσιν ὑμᾶς οἱ ἄνθρωποι, καὶ ὅταν ἀφορίσωσιν ὑμᾶς, καὶ ὀνειδίσωσι, καὶ ἐκβάλωσι τὸ ὄνομα ὑμῶν ὡς πονηρόν, ἕνεκα τοῦ Υἱοῦ τοῦ ἀνθρώπου. Χαίρετε ἐν ἐκείνῃ τῇ ἡμέρᾳ καὶ σκιρτήσατε˙ ἰδοὺ γὰρ ὁ μισθὸς ὑμῶν πολὺς ἐν τῷ οὐρανῷ.

### Μεγαλυνάριον.

**Χ**αίροις ὁ τῆς Νάξου θεῖος βλαστὸς καὶ τῶν ἱερέων ὁ ἐν πᾶσιν ὑπογραμμός, ἐλεημοσύναις, νηστείαις, ἀγρυπνίαις καὶ προσευχαῖς σχολάζων, πάτερ Νικόλαε.

### Δίστιχον.

Μνημονεύων μὴ παύσῃ ταπεινοῦ ἐπισκόπου
Νικοδήμου ὑμνοῦντός σε Νικόλαε πάνυ.

www.tezaurliturgic.ro


# Συναξάριον

Ὁ ἀοίδιμος καὶ μακαριστὸς ἱερεὺς *Νικόλαος Πλανᾶς* —ὁ μετὰ τῶν ἁγίων ἤδη συναριθμούμενος— ἐγεννήθη ἐν τῇ εὐάνδρῳ νήσῳ τῶν Κυκλάδων Νάξῳ, ἐν ἔτει σωτηρίῳ αωνα′ (1851), ἐκ πατρὸς Ἰωάννου καὶ μητρὸς Αὐγουστίνης, τὸ γένος Μελισσουργοῦ. Οἱ εὐσεβεῖς γονεῖς τοῦ ἐκ κοιλίας μητρὸς ἡγιασμένου Νικολάου ἐξέθρεψαν αὐτὸν ἐν παιδείᾳ καὶ νουθεσίᾳ Κυρίου. Παιδιόθεν δὲ οὗτος *«προέκοπτε σοφίᾳ καὶ ἡλικίᾳ καὶ χάριτι παρὰ Θεῷ καὶ ἀνθρώποις»* (Λουκ. β′ 52).

Ἐνωρίτατα διεφάνη ἡ ἔφεσις τοῦ παιδίου πρὸς τὰ ὅσια καὶ τὰ ἱερά. Ἔφερε τὰ παιδικὰ βήματά του εἰς τὰ *«ἀγαπητὰ σκηνώματα τοῦ Κυρίου τῶν Δυνάμεων»* (Ψαλμὸς πγ′ [83] 1). Ἐκίνει τοὺς πόδας του πρὸς τὸ ἅγιον Βῆμα, ἵνα ὑπηρετῇ τὸν ἱερέα πάππον του Γεώργιον Μελισσουργὸν ἱερουργοῦντα. Ἔτεινε τὰς ἀκοάς του, ἵνα εἰσδέχωνται τὰ ἱερὰ λόγια τῶν εὐχῶν καὶ τῶν ὕμνων. Ηὐτρέπιζε τὴν γλῶσσάν του, ἵνα ψελλίζῃ καὶ ὑποψάλλῃ ψαλμοὺς καὶ τροπάρια, *«ᾄδων καὶ ψάλλων ἐν τῇ καρδίᾳ αὐτοῦ τῷ Κυρίῳ»*, καὶ ἐθίζεται ἀπὸ τῆς πρώτης νεότητος *«λαλῶν ψαλμοῖς καὶ ὕμνοις καὶ ᾠδαῖς πνευματικαῖς»* (Ἐφεσ. ε′ 19). Προωρισμένος δὲ ἄνωθεν εἰς λειτουργίαν τοῦ ἁγίου θυσιαστηρίου, παρεκινεῖτο ἐκ τρυφερᾶς ἡλικίας νὰ ὑποδύεται κατ' οἶκον ρόλον καὶ λειτουργήματα ἱερατικά, δι' αὐτοσχεδίων μέσων καὶ σκευῶν καὶ ὑποτυπώδους λειτουργικῆς ἀμφιέσεως, θυμιῶν καὶ ἀναπαριστῶν μιμητικῶς τὰ τελούμενα ἐν τῷ ναῷ, ὑπὸ τὴν σιωπηλὴν παρακολούθησιν καὶ θαυμασμὸν τοῦ οἰκογενειακοῦ περιβάλλοντος. Πολλοὶ δὲ ἦσαν καὶ οἱ ἐκ τοῦ εὐρυτέρου κύκλου τῆς Χώρας (πρωτευούσης) τῆς Νάξου διαποροῦντες *«τί ἄρα τὸ παιδίον τοῦτο ἔσται; Καὶ χεὶρ Κυρίου ἦν μετ' αὐτοῦ»* (Λουκ. α′ 66). Προϊούσης δὲ τῆς ἡλικίας αὐτοῦ ὁ νεαρὸς Νικόλαος μετεῖχεν ἀδιαλείπτως τῶν ἱερῶν ἀκολουθιῶν καί τῆς καθόλου λειτουργικῆς καὶ μυστηριακῆς ζωῆς τῆς ἁγίας ἡμῶν Ἐκκλησίας. Καὶ *«οὐκ ἀφίστατο ἀπὸ τοῦ ἱεροῦ νηστείαις καὶ δεήσεσι λατρεύων νύκτα καὶ ἡμέραν»* (Λουκ. β′ 37) ὁ ἐπίδοξος οὗτος ἐραστὴς τῶν οὐρανίων χαρισμάτων, νηστείας, ἀγρυπνίας, προσευχῆς, καὶ *«ζηλωτὴς καλῶν ἔργων»* (Τίτ. β′ 14).

www.tezaurliturgic.ro


Ἦτο ἑπόμενον αἱ θαυμασταὶ αὗται ἀπαρχαὶ νὰ ἔχωσιν ἀνάλογον συνέχειαν. Ὅταν δὲ ὁ Νικόλαος ἀπωρφανίσθη ἐκ πατρός, νεώτατος δ' αὐτὸς εὑρέθη προστάτης χήρας μητρὸς καὶ νεωτέρας ἀδελφῆς, ἡ οἰκονομία τοῦ Θεοῦ μετεφύτευσε σύντρεις εἰς Ἀθήνας, ἵνα εὕρωσι πόρον ζωῆς, ἐφ' ὅσον μάλιστα ἐξ ἀντιξόων περιστάσεων ἀπεστερήθησαν μετ' οὐ πολὺ καὶ τῶν περιουσιακῶν αὐτῶν στοιχείων. Δὲν ἐβράδυνε δὲ νὰ δείξῃ ὁ Κύριος ὅτι διὰ τὸν ἀφωσιωμένον δοῦλόν Του Νικόλαον *«θύρα ἀνέωγε μεγάλη καὶ ἐνεργής»,* ἔστω καὶ ἂν ὑπῆρξαν *«καὶ ἀντικείμενοι πολλοί»* (Α' Κορ. ιϛ' 9).

Ἡ θύρα τῆς Ἐκκλησίας ἦτο ἀνοικτὴ δι' αὐτόν. Καὶ παρὰ τὴν ἔλλειψιν μορφωτικῶν προσόντων, ἡ διαλάμπουσα ἀρετή του καί, πρὸ πάντων, *«ἡ θεία χάρις ἡ τὰ ἀσθενῆ θεραπεύουσα καὶ τὰ ἐλλείποντα ἀναπληροῦσα»* ὑπερεκάλυψε πάσας τὰς ἐλλείψεις του, καί τινα φυσικὰ μειονεκτήματα (φωνῆς καὶ ἀρθρώσεως), καὶ ἀπέδειξε τοῦτον εὔθετον καὶ εὔχρηστον *«εἰς τὸ εὐαγγέλιον τοῦ Χριστοῦ... θύρας ἀνεωγμένης ἐν Κυρίῳ»* δι' αὐτὸν (Β' Κορ. β' 12).

Ὁ ἴδιος ἀφιέρωσεν ἔκτοτε, νεαρώτατος, ἑαυτὸν εἰς τόν Θεὸν καὶ τὴν Ἐκκλησίαν. Νυμφευθεὶς ἐχήρευσε προώρως, εὐθὺς μετὰ τήν ἀπόκτησιν τοῦ πρώτου καὶ μόνου τέκνου του (Ἰωάννου), θανούσης κατὰ τὸν τοκετὸν τῆς μητρός.

Χειροτονηθεὶς δὲ ἱερεὺς διετέλεσεν ἐφημέριος ἐν Ἀθήναις ἐπὶ πεντηκονταετίαν περίπου (1884 – 1932), εἰς τοὺς ἱεροὺς ναοὺς τοῦ Ἁγίου Ἰωάννου τοῦ Προδρόμου καὶ τοῦ ἁγίου Παντελεήμονος, παρὰ τὸν Ἰλισσὸν ποταμόν. Καὶ διεκρίθη ὡς ὁ λειτουργικώτερος ἱερεύς, ἄνθρωπος προσευχῆς, οὗτινος ἡ ζωὴ ὑπῆρξε συνεχὴς διακονία τοῦ θυσιαστηρίου. Ἀληθὴς μύστης τῆς χάριτος, μετέδιδε ταύτην εἰς τοὺς πιστοὺς ἔργῳ καὶ λόγῳ, κατὰ πλήρη ἐφαρμογὴν τοῦ ἀποστολικοῦ παραγγέλματος· «τὸν κοπιῶντα γεωργὸν δεῖ πρῶτον τῶν καρπῶν μεταλαμβάνειν» (Β' Τιμ. β' 6).

*«Ἀπὸ φυλακῆς πρωΐας μέχρι νυκτὸς»* διατρίβει εἰς τὸν ναόν. *«Ἐπιποθεῖ καὶ ἐκλείπει ἡ ψυχή του εἰς τὰς αὐλὰς τοῦ Κυρίου»* (Ψαλμ. πγ' [83] 1). *«Ἀφιλάργυρος τὸν τρόπον»* (Ἑβρ. ιγ' 5). Καὶ *«πλήρης ἀγαθῶν ἔργων καὶ ἐλεημοσυνῶν ὧν ἐποίει»* (Πράξ. θ' 36). Λιτοδίαιτος εἰς τὸ ἔπακρον. Ἠρκεῖτο εἰς τεμάχιον ἄρτου καὶ ὀλίγα χόρτα, ἅτινα συνέλεγεν ὁ ἴδιος· ἐνίοτε δὲ καὶ εἰς ὀλίγον γάλα προσφερόμενον εἰς αὐτὸν ὑπὸ ποιμένων τῆς ἐρημικῆς τότε

www.tezaurliturgic.ro


περιοχῆς τῆς ἐνορίας του. Ὀνομασταὶ καὶ ἀλησμόνητοι παρέμειναν αἱ ἀγρυπνίαι τὰς ὁποίας ἐτέλει εἰς τὸν ἱερὸν ναὸν τοῦ ἁγίου Ἐλισσαίου ἐν Ἀθήναις. Ἐνδεικτικὴ δὲ τοῦ ἐνθέου ζήλου του ἦτο ἡ κατάνυξις αὐτοῦ ἐν ταῖς ἱερουργίαις, ἡ αἴσθησις τῆς ἁγιότητος αὐτοῦ, *«ἐπιγινωσκομένη»* ἐκδήλως ὑπὸ τοῦ λαοῦ, καὶ ἡ μεταδιδομένη γαλήνη καὶ ὁ μετεωρισμὸς τοῦ ἐκκλησιάσματος πρὸς τὸν οὐρανόν, ὁ προκαλούμενος ὑπ' αὐτοῦ. Ἀναφέρονται καὶ μαρτυρίαι παιδίων, ὅτι τὸν ἔβλεπον μετάρσιον, μὴ πατοῦντα ἐπὶ τῆς γῆς ἐν ὥρᾳ Θείας Λειτουργίας. Μαρτυρίαι δὲ περιφανῶν λογίων (Ἀλεξάνδρου Παπαδιαμάντη καὶ Ἀλεξάνδρου Μωραϊτίδου) *«συναγωνιζομένων αὐτῷ ἐν ταῖς προσευχαῖς πρὸς τὸν Θεὸν»* (Ρωμ. ιε' 30) καὶ ψαλλόντων ἐν ταῖς ἀγρυπνίαις εἰς τὸν ναὸν τοῦ ἁγίου Ἐλισσαίου, ἐξαίρουν τὴν σπανίαν καὶ ἁγίαν ἱερατικὴν αὐτοῦ προσωπικότητα.

* * *

Εἰς ὥριμον γῆρας, καμφθεὶς ὑπὸ τὸ βάρος τῶν ὑπερογδοήκοντα ἐργωδῶν καὶ πολυμόχθων ἐτῶν τῆς ἡλικίας του, ἐκοιμήθη ἐν Κυρίῳ, *«ἵνα ἀναπαύσηται ἐκ τῶν κόπων αὐτοῦ· τὰ δὲ ἔργα αὐτοῦ ἀκολουθεῖ μετ' αὐτοῦ»* (Ἀποκ. ιδ' 13).

Ἡ κοίμησίς του († 2 Μαρτίου 1932) ἐσήμανε συναγερμὸν λαοῦ (ὄχι δὲ μόνον τῶν πνευματικῶν αὐτοῦ τέκνων) εἰς πάνδημον ἐκδήλωσιν βαθυτάτου σεβασμοῦ καὶ ὁμολογίας καὶ διακηρύξεως τῆς ἁγιότητος αὐτοῦ.

Ἐπὶ τῇ φερομένῃ δὲ φήμῃ τῆς ἁγιότητος αὐτοῦ —ἐν ζωῇ ἔτι διατελοῦντος— καὶ τῇ ἑδραιώσει, μεταθανατίως, τῆς πεποιθήσεως τοῦ λαοῦ περὶ τῆς ἁγίας βιοτῆς καὶ τῶν θεοφιλῶν ἔργων τοῦ *ἀοιδίμου ἱερέως Νικολάου Πλανᾶ,* καὶ τῆς ὁσίας τελευτῆς αὐτοῦ, ἡ Ἐκκλησία τῆς Ἑλλάδος καὶ τὸ Οἰκουμενικὸν Πατριαρχεῖον ἔκρινον καὶ ἀπεφάνθησαν ὅτι τυγχάνει ἤδη «κατηριθμημένος» μετὰ τῶν τῷ Θεῷ εὐαρεστησάντων ἁγίων.

> *«Τὸν ἀγῶνα τὸν καλὸν ἠγώνισται· τὸν δρόμον τετέλεκε· τὴν πίστιν τετήρηκε· λοιπὸν ἀπόκειται αὐτῷ ὁ τῆς δικαιοσύνης στέφανος, ὃν ἀποδώσει αὐτῷ ὁ Κύριος ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὁ δίκαιος κριτὴς»* (Β' Τιμ. δ' 8).

(† ὁ Π. Ν.)

# ΜΟΥΣΙΚΟΝ ΠΑΡΑΡΤΗΜΑ

**Εἰς τὸν Ἑσπερινόν.** Δόξα. Ἦχος Πα




η η η μα α α α τα και γαρ τα α γε νη τουου
κο ο ο ο σμου και τα εξ ου θε νη με ε ε ε ε
ε να εξ ε λε ξα το ο ο ο ο Θε ος και τα
μη ο ο ον τα ι ι ι να τα ο ο ον τα κα α α
ταρ γη η η η ση α πλα νω ως δε ε ε ο Πλα
νας εν τω φω τι ι πε ε ε ρι ι πα α α
των η μιν τα α α νω δι ι δα α α σκει και φρο
νειν και πραγ μα τε ε ευ σθαι

**Εἰς τὴν Λιτήν.** Ἰδιόμελον. Ἦχος Πα






**Εἰς τὸν Στίχον.** Δόξα. Ἦχος πλ. Πα






**Εἰς τὸ «Ἐλέησόν με, ὁ Θεός».** Ἰδιόμελον. Ἦχος Πα




Α α α γι ι ι ε α νε δε ε χϑη η ης προ
ο ω ω ω ρως αλ λω ως δε τα κα τα σε ο Θε ος
οι οι κο νο μει ει ει την ε πι τε ε ε κνω
χα α α ραν τη χη ρει ει α συγ κι ι ιρ νων
Ζω
συ δε αυ τω ο λο ϑυ μως α φι ε ε ε ρω
σαι ι ε ρω συ νη η η ην αμ πε χο ο ο ο ο με
ε ε νος ο σι ως ι ε ρα τε ε ε ευ σας
και του ε που ρα νι ου νυν ϑυ σι α στη η ρι ι ι
ου λει τουρ γο ος γε ε νο ο ο με ε ε ε νο


ο ο ος
Εἰς τοὺς Αἴνους. Δόξα. Ἦχος Πα
Τον ε πι γη ης αγ γε ε λον και εν ου ρα νοι οις ανθρω
ω πον Θε ε ου τον εν ι ε ρε ε ευ σιν α πλου ουν
α μα α και σο φον τον εν τοις ε σχα α τοι οις χροο
νοις η γι α σμε ε ε ε νο ο ον φα νε ε ε εν
3 3 3 3
τα εν πα σι τα α ρε στα τω Κυ ρι ω ι χνη λα α του
3
ου ουν τα και τοις αν θρω ποι οις τα κα λα και ω φε ε
3
λι ι μα πρα α α ατ το ο ο ον τα Νι κο λα α






Ἅγιε τοῦ Θεοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.